Tekst 1

Odysseus spreekt met Calypso over zijn vertrek.
Hij zegt wat hij van haar voorstel vindt.

177 “Οὐδ᾽ ἂν ἐγὼν ἀέκητι σέθεν σχεδίης ἐπιβαίην,
178 εἰ μή μοι τλαίης γε, θεά, μέγαν ὅρκον ὀμόσσαι
179 μή τί μοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο.”
180 Ὣς φάτο, μείδησεν δὲ Καλυψώ, δῖα θεάων,
181 χειρί τέ μιν κατέρεξεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
182 “ Ἦ δὴ ἀλιτρός γ᾽ ἐσσὶ καὶ οὐκ ἀποφώλια εἰδώς,
183 οἷον δὴ τὸν μῦθον ἐπεφράσθης ἀγορεῦσαι.
184 Ἴστω νῦν τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθε
185 καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος
186 ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσι,
187 μή τί σοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο.
188 Ἀλλὰ τὰ μὲν νοέω καὶ φράσσομαι, ἅσσ᾽ ἂν ἐμοί περ
189 αὐτῇ μηδοίμην, ὅτε με χρειὼ τόσον ἵκοι·
190 καὶ γὰρ ἐμοὶ νόος ἐστὶν ἐναίσιμος, οὐδέ μοι αὐτῇ
191 θυμὸς ἐνὶ στήθεσσι σιδήρεος, ἀλλ᾽ ἐλεήμων.”
192 Ὣς ἄρα φωνήσασ᾽ ἡγήσατο δῖα θεάων
193 καρπαλίμως· ὁ δ᾽ ἔπειτα μετ᾽ ἴχνια βαῖνε θεοῖο.
194 Ἷξον δὲ σπεῖος γλαφυρὸν θεὸς ἠδὲ καὶ ἀνήρ,
195 καί ῥ᾽ ὁ μὲν ἔνθα καθέζετ᾽ ἐπὶ θρόνου ἔνθεν ἀνέστη
196 Ἑρμείας, νύμφη δ᾽ ἐτίθει πάρα πᾶσαν ἐδωδήν,
197 ἔσθειν καὶ πίνειν, οἷα βροτοὶ ἄνδρες ἔδουσιν·
198 αὐτὴ δ᾽ ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο,
199 τῇ δὲ παρ᾽ ἀμβροσίην δμῳαὶ καὶ νέκταρ ἔθηκαν.
200 Οἱ δ᾽ ἐπ᾽ ὀνείαθ᾽ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
201 Αὐτὰρ ἐπεὶ τάρπησαν ἐδητύος ἠδὲ ποτῆτος,
202 τοῖς ἄρα μύθων ἦρχε Καλυψώ, δῖα θεάων·
203 “Διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
204 οὕτω δὴ οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν

αὐτίκα νῦν ἐθέλεις ἰέναι; Σὺ δὲ χαῖρε καὶ ἔμπης.
Εἴ γε μὲν εἰδείης σῇσι φρεσὶν ὅσσα τοι αἶσα
κήδε᾽ ἀναπλῆσαι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
ἐνθάδε κ᾽ αὖθι μένων σὺν ἐμοὶ τόδε δῶμα φυλάσσοις
ἀθάνατός τ᾽ εἴης, ἱμειρόμενός περ ἰδέσθαι
σὴν ἄλοχον, τῆς αἰὲν ἐέλδεαι ἤματα πάντα.
Οὐ μέν θην κείνης γε χερείων εὔχομαι εἶναι,
οὐ δέμας οὐδὲ φυήν, ἐπεὶ οὔ πως οὐδὲ ἔοικε
θνητὰς ἀθανάτῃσι δέμας καὶ εἶδος ἐρίζειν.”
Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
“Πότνα θεά, μή μοι τόδε χώεο· οἶδα καὶ αὐτὸς
πάντα μάλ᾽, οὕνεκα σεῖο περίφρων Πηνελόπεια
εἶδος ἀκιδνοτέρη μέγεθός τ᾽ εἰσάντα ἰδέσθαι·
ἡ μὲν γὰρ βροτός ἐστι, σὺ δ᾽ ἀθάνατος καὶ ἀγήρως.
Ἀλλὰ καὶ ὣς ἐθέλω καὶ ἐέλδομαι ἤματα πάντα
οἴκαδέ τ᾽ ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι.”

Homerus, Odyssee 5.177-220

Aantekeningen
regel 182 **ἀλιτρός** listig
ἀποφώλιος nutteloos
regel 191 **ἐλεήμων** medelijdend
regel 193 **τὸ ἴχνιον** voetspoor
regel 209 **ἱμείρω** wensen
regel 215 **πότνα** machtig
regel 217 **ἀκιδνότερος** minder
regel 218 **ἀγήρως** eeuwig jong